Σάμῳ στρατηγίας[1]) εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης]. λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.[2])

---

## ΣΑΛΟΥΣΤΙΟΥ[3]) ΑΝΤΙΓΟΝΗΣ ΥΠΟΘΕΣΙΣ.

Τὸ μὲν δρᾶμα τῶν καλλίστων Σοφοκλέους. στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωίδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην. ὁ μὲν γὰρ Ἴων[4]) ἐν τοῖς διθυράμβοις καταπρησθῆναί φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους· Μίμνερμος[5]) δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι. ταῦτα μὲν οὖν ἐστιν τὰ ξένως περὶ τῶν ἡρωίδων ἱστορούμενα. ἡ μέντοι κοινὴ δόξα σπουδαίας αὐτὰς ὑπείληφεν καὶ φιλαδέλφους δαιμονίως, ᾗ καὶ οἱ τῆς τραγῳδίας ποιηταὶ ἑπόμενοι τὰ περὶ αὐτὰς διατέθεινται. τὸ δὲ δρᾶμα τὴν ὀνομασίαν ἔσχεν ἀπὸ τῆς παρεχούσης τὴν ὑπόθεσιν Ἀντιγόνης. ὑπόκειται δὲ ἄταφον τὸ σῶμα Πολυνείκους, καὶ Ἀντιγόνη θάπτειν αὐτὸ πειρωμένη παρὰ τοῦ Κρέοντος κωλύεται· φωραθεῖσα δὲ αὐτὴ θάπτουσα ἀπόλλυται, Αἵμων τε ὁ Κρέοντος ἐρῶν αὐτῆς καὶ ἀφορήτως ἔχων ἐπὶ τῇ τοιαύτῃ συμφορᾷ αὑτὸν διαχειρίζεται· ἐφ' ᾧ καὶ ἡ μήτηρ Εὐρυδίκη τελευτᾷ τὸν βίον ἀγχόνῃ.[6])

[1]) Ol. 84, 4 (441/0 v. Chr.), wornach die Aufführung der Antigone in das Jahr 442 v. Chr. fallen mag.

[2]) Nach Schneidewin's Annahme hatte die Antigone diese Zahl in einem chronologischen Verzeichnisse der Stücke des Dichters in der alexandrinischen Bibliothek. Sind die Satyrdramen mitgerechnet, so fallen acht Tetralogieen, wenn nicht, elf Trilogieen in die Zeit von 468—442 v. Chr.

[3]) Σαλούστιος σοφιστής (im späteren Sinne des Wortes ein Rhetor oder rhetorischer Schriftsteller), ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα καὶ ἄλλα. Suidas.

[4]) Jon von Chios, Tragiker und Prosaschriftsteller, Verfasser von Ἐπιδημίαι, in denen er unter anderem von seiner Begegnung mit Sophokles auf Chios erzählt hat. (Athen. XIII p. 603 E).

[5]) Der bekannte Elegiker von Kolophon (um 620 v. Chr.).

[6]) ἀγχόνῃ würde nur bei dem vorausgehenden Ἀντιγόνη . . ἀπόλλυται richtig sein (wie im folgenden Argument).